[1] Ἀλλ᾽οὐδῷ ἡ Σερήνας ἀπώλεια τῆς πολιορκίας ἀπέστησεν Ἀλάριχον, ἀλλ᾽αὐτὸς μὲν κύκλῳ περιεῖχε τὴν πόλιν καὶ τὰς πύλας ἁπάσας, καταλαβὼν δὲ τὸν Θύβριν ποταμὸν τὴν διὰ τοῦ λιμένος τῶν ἐπιτηδείων ἐκώλυε χορηγίαν· ὅπερ οἱ Ῥωμαῖοι θεασάμενοι διακαρτερεῖν ἔγνωσαν, οἷα ὡς εἰπεῖν ἑκάστης ἡμέρας ἐκ τῆς Ῥαβέννης ἐλεύσεσθαι τῇ πόλει προσδοκῶντες ἐπικουρίαν. [2] Ὡς δὲ οὐδενὸς ἀφικνουμένου τῆς ἐλπίδος ἀπεσφάλησαν, ἐδόκει τὸ μέτρον ἐλαττωθῆναι τοῦ σίτου καὶ τὸ ἥμισυ πέττεσθαι μόνον τοῦ πρότερον ἑκάστης ἡμέρας δαπανωμένου, εἶτα τῆς ἐνδείας ἐπιτεινομένης τὸ τρίτον· καὶ ἐπειδὴ μηδεμία τῆς τοῦ κακοῦ θεραπείας ἦν μηχανή, τὰ δὲ τῇ γαστρὶ βοηθοῦντα πάντα ἐπέλιπε, λιμῷ κατὰ τὸ εἰκὸς ἐπῄει λοιμὸς καὶ πάντα ἦν νεκρῶν σωμάτων μεστά.